ς'. Μάτην, φαμὲν, ταῦτα καὶ τὰ ἔτι πρότερον καὶ τὰ ἐς ὕστερον παρὰ τῆς πνευματικῆς αὐτῶν Μητρὸς Μεγάλης Ἐκκλησίας εὐεργετήματα καβέβληται ἐπὶ τῷ δυσωπῆσαι τούτους δὲ τοὺς νεωτεριστὰς, ὥστ' ἀνανήψαντας φυλάξαι ἑαυτοὺς καὶ τὸ οἰκεῖον ἔθνος καὶ τοὺς ὁμοδόξους ἀπὸ μειζόνων σάλων καὶ κοινῶν σκανδάλων, ὧν τὸ αἰώνιον οὐ αἰ εὐθύνει τὸν αἴτιον. Μετὰ γὰρ τὸν Ἀνατολικὸν ἐκεῖνον πόλεμον ἄρτι τῶν πραγμάτων καταστάντων, τῆς δ' ἐφ' ἡμᾶς φιλονόμου καὶ μεγαλοδώρου Κυβερνήσεως πανδήμως αὖθις ἀνακηρυξάσης τοὺς πολιτικοὺς θεσμοὺς τῆς ἀνεξιθρησκείας, οὓς διὰ τοῦ ὑψηλοῦ Χάττι-χουμαγιοὺν κεκύρωκε, ταύτης ἐπιλαβόμενοι τῆς προφάσεως, καὶ κομιδῇ ἐκτόπως ἀνεξιθρησκείαν ὑπειληφότες οὐ τὸ ἀνέχεσθαι ἀλλήλων, ὥσπερ οὖν εἰκὸς, τὰς ἑτεροδόξους Ἐκκλησίας καὶ θρησκείας, ἀλλὰ τὸ ἐν μιᾷ καὶ τῇ αὐτῇ θρησκείᾳ τε καὶ ἐκκλησίᾳ ἐξεῖναι νηποινεὶ παρανομεῖν τὸν βουλόμενον καὶ ἐν ἀλλοτρίῳ καὶ ἀθέσμῳ πνεύματι ἀνατρέπειν τὰ εὖ καὶ πατροπαραδότως κείμενα, καὶ τὸ προσωπεῖον λοιπὸν ἀφελόμενοι, καὶ ῥαγδαίως ἤδη καὶ ἀναφανδὸν ἐπιτιθέμενοι κατὰ τοῦ Κλήρου τοῦ Κυρίου, ἄλλως τε καὶ δι' ἐφημερίδων, ὧν ἔστιν ἃς

γεζουϊτικὸς ὑπεφύσα καὶ συνέταττε καὶ νοῦς καὶ κάλαμος, ἐδείνωσαν τὸ κακὸν ἐν ἀπαιδεύτῳ κοινωνίᾳ εἰς τοῦσχατον. Ἡ δέ τοι δείνωσις αὕτη οὐ μόνον τὰς πολυειδεῖς καὶ πάσης τραγῳδίας καὶ θρήνων ἀνάπλεως κακώσεις τῶν ἑλληνοφώνων Κληρικῶν καὶ διδασκάλων ἔστιν ὅπου τῶν ἐπαρχιῶν ἐπεσπάσατό τε καὶ παρεσκεύασεν, ἀλλὰ πρὸς τούτοις τὸν μὲν Ἰούλιον τοῦ ᾳωνς'ου σωτηρίου ἔτους ἱκετηρίαν τῇ Αὐτοῦ Αὐτοκρατορικῇ Μεγαλειότητι, τῷ μεγαθύμῳ Σουλτάνῳ, ἐπ' ὀνόματι δῆθεν τοῦ Βουλγαρικοῦ λαοῦ προεκάλεσεν, ἐξαιτουμένου ταὐτὰ καὶ παραπλήσια τοῖς τῶν Γραικῶν καὶ Ἀρμενίων ὑπηκόων προνόμια καὶ δίκαια, οἷων καὶ αὐτοὶ (ἔφασαν) ἕως μεσούσης τῆς παρεληλυθυίας ἑκατονταετηρίδος ἀπολελαυκότες, τὰ πάντ' ἀφῄρηντται πρὸς τοῦ Γραικικοῦ Πατριαρχείου. Τοῦ δ' ἐπιόντος ἔτους ἦρος ἄρτι διαγελῶντος, ἐπειδή περ τὸ Σουλτανικὸν διάγγελμα διαπεφοιτήκει πανταχόσε περὶ τῆς συγκροτήσεως τῆς διὰ τοῦ τρίτου Ἄρθρου τοῦ μνηισθέντος Χάττι Χουμαγιοὺν προαγγελθείσης γενικωτέρας τῶν ἀνὰ τὸ Κράτος χριστιανῶν συνελεύσεως ἐπὶ διευθετήσει τῶν κοινῶν πραγμάτων, τοῦτον νομίσαντες ἥκειν τὸν καιρὸν τοῦ ἀποκαταστῆσαι κατ' εὐχὴν τὴν κατ'αὐτοὺς ἐθνικὴν καὶ ἀνεξάρτητον Ἱεραρχίαν, καὶ ἓν τοῦτο φέροντες τὸ σύνθημα ἐπί τε γλώττης καὶ ἐπὶ καλάμου, πάλιν οὔτε λοιδορίας, οὔτε συκοφαντίας, οὔτε ἄλλου οὐδενὸς ἀπήσχοντο, ὁπόσα ἀποδείξειν ἔμελλε τὸν παρὰ τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κλῆρον ἀπὸ μικροῦ ἕως μεγάλου, ἀπὸ Ἕλληνος ἕως Βουλγάρου, ἀπηνῆ ὄηθεν διώκτην ὄντα τῆς Βουλγαρικῆς ἐθνότητος, καὶ ἀποκλειστικὸν καὶ πλεονέκτην καὶ, ὃ μάλιστα σατανικὸν, τὴν ἀρχὴν ἀδιόρθωτον. Αἱ δὲ δὴ οὕτω χαλεπαὶ καὶ βαρύταται διαβολαὶ καὶ δυσφημίαι, οὐ πολὺ ἀφεστηκυῖαι τοῦ γελοίου καὶ ἀπιθάνου διὰ τὴν ὑπερβολὴν, καὶ διὰ τοῦτο οὐκ εὐστοχήσασαι τοῦ σκοποῦ τῶν διαδιδόντων, εἰσώθησαν ὅμως εἰς τὰ οὐνιτικὰ τῆς προπαγάνδας δίκτυα δι' ἀντεκδίκησιν μᾶλλον καὶ κέρδος ὑλικὸν, ἢ κατ' ἐπίγνωσιν, ὀλίγην ἄγραν βουλγαρικὴν, πρῶτα μὲν ἐν Πολυάνῃ τῇ θεοσώστῳ ἐπισκοπῇ τοῦ Θεσσαλονίκης, κατόπιν δὲ καὶ ἄλλοθι, ἀλλ' οὐκ εἰς τέλος· τὸ γὰρ ψεῦδος βραχύβιον.

ζ'.) Ἐφ' ὅσον μὲν οὖν ἀφανέστερον καὶ ἰδιωτικώτερον ἐλέγετό τε καὶ

ἐγράφετο τὰ τοιαῦτα παρὰ τῶν Βουλγαριστῶν αἰτήματά τε καὶ αἰτιάματα, τέως ἰδιωτικῶς ὁμοίως καὶ ἡ καθ' ἡμᾶς ἁγιωτάτη Ἐκκλησία διετέλει τὴν οἰκείαν τάξιν, τάξιν φύλακος ἀγρύπνου καὶ μητρὸς πολυμερίμνου, οὐδ' ἐπ' ἐλάχιστον καταλείπουσα, ἀεὶ διά τ' ἐπιστολῶν ἐκκλησιαστικῶν καὶ διὰ εἰδικῶν πραγματειῶν, καὶ σπανιώτερον, ἐν δημοσιογραφικαῖς μελέταις νουθετοῦσά τε καὶ παραινοῦσα, προλαμβάνουσα καὶ αἴρουσα, ὅσον ἐνῆν, τὰ τῆς διχοστασίας λαοκτόνα σκάνδαλα, ὥστ' εἰρηνοποιῆσαι καὶ, εἰ θέμις λέγειν, μειλίξαι καὶ ἐξευγενίσαι παῖδας στρυφνοὺς, νεανικώτερον σφαδάζοντας κατὰ τῆς ἑαυτῶν μητρὸς καὶ ἀγνοοῦσι μὲν ἑοικότας οἷον θαυμαστὸν τυγχάνει τὸ ἐν ὁμονοίᾳ καὶ ἀγάπῃ ζῆν τὰ τέκνα σύμπαντα ὑπὸ τὸ ζωογόνον θάλπος μητρικῆς στοργῆς καὶ τῆς ἰσότητος συναπολαύειν, ἰσότητος ἐχούσης τὸ κατ' ἀξίαν, κατὰ τὴν θεολόγον φωνὴν, οὐκ εἰδότας δὲ τί καὶ προσαιτοῦνται ἴδιον ἐκ τῆς κοινῆς κληρονομίας τοῦ Κυρίου.

η.) Ἀλλ' ἄρτι τοῦ ᾱωξ'ου σωτηρίου ἔτους ἀνατειλαντος (τῇ ιέ. Ἰανουαρίου), ὀγδοήκοντα Τιρναβιτῶν ἱκετηρίαν ἔγγραφον ὁ ἐν τῇ προρρηθείσῃ Συνελεύσει συνεδρεύων ἀντιπρόσωπος αὐτῶν ἐπιδεδωκὼς τῇ Ὑψηλῇ Πύλῃ, ἐπανελάμβανε τὰ ἐν αὐτῇ ἐγγράφως καὶ πρὸς τὴν Συνέλευσιν, ἐν ἓξ προτάσεσι διατυπώσας τά τε περὶ τῆς ἀμφοῖν τῶν τὰ πρώην ποτ' αὐτοκεφάλων δῆθεν γενομένων ἀρχιεπισκοπῶν Ἀχριδῶν καὶ Τυρνόβου ὀφειλομένης ἀποκαταστάσεως, καὶ τὸ χειροτονεῖν Ἀρχιερεῖς Βουλγαρογενεῖς, πάντη πάντως ἰσοτίμους τοῖς ἐκ τῶν Γραικῶν ἐσομένους, ἔτι μὴν τὴν τῆς οἰκείας γλώττης ἀδέσμευτον χρῆσιν, καὶ τελευταῖον τὴν τοῦ ἐπιλεγομένου κοινοῦ χρέους ἀκριβῆ ἐξέλεγξιν, ἵνα γνωσθέντες οἱ τὰ Πατριαρχεῖα παρὰ λόγον (ἔφη) χρεώσαντες, αὐτοὶ ἀναγκασθεῖεν ποιήσασθαι τὴν ἐξόφλησιν. Ἐπεὶ δὲ ἡ Συνέλευσις τὰ Τυρναβικὰ ταῦτ' αἰτήματα, καί περ ἕνεκά γε τοῦ προτείναντος Ἀντιπροσώπου τύπον ἐπαρχιακῆς βουλήσεως φέρειν δοκοῦντα, οὔτε συνεζήτησεν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν προσήκετο, τοῦτο μὲν διὰ τὸ ἐποικοδομηθῆναι ἐπὶ αἰτιάσεων καὶ διϊσχυρισμῶν ἀναπόδεικτων, τοῦτο δὲ διὰ τὸ ξένα εἶναι τῆς τῆς Συνελεύσεως ἐντολῆς· ὁ μὲν ἀντιπρόσωπος, διαμαρτυρόμενος πρὸς τὸ Συνέδριον, ἀπέστη. Οἱ δὲ ὁμοφρονοῦντες αὐτῷ, ὥσπερ ἀπέλπιδες καὶ ἀπόλυτοι γεγονότες, καὶ συστηματικῶς καὶ ἐπιθετικώτερον ἤδη τῆς κατὰ τῶν Πατριαρχείων ἀνταρσίας καὶ καταφορᾶς ἀψάμενοι, προὔβησαν, φεῦ, καὶ εἰς βεβήλωσιν καὶ ἐμπρησμὸν τῶν πανακράντων εὐαγγελίων καὶ τῶν λοιπῶν ἐκκλησιαστικῶν βιβλίων καὶ ἱερῶν τινων εἰκόνων, ὡς φθεγγομένων ἑλληνιστὶ, οὐ μὴν δ' ἀλλὰ καὶ εἰς διαρπαγὴν ὅλων ἐπισκοπῶν καὶ Μητροπόλεων, ζητοῦντες τὰς ψυχὰς τῶν ἐν αὐταῖς ποιμένων τοῦ ἀπολέσαι αὐτάς.

θ'). Ἀλλ' ἦν ἄρα τούτων τῶν τοῦ ὄχλου ἀχαλίνων σκιρτημάτων καὶ ἀσεβημάτων ἄλλα τόσῳ βαρύτερα καὶ χαλεπώτερα, ὅσῳ οἱ πράττοντες ἐδόκουν οὐκ ἀγνῶτες εἶναι τῶν κανόνων, τῶν δ' ἄλλων νουνεχέστεροι καὶ τόπον διδασκάλων εὐσεβείας, ὡς ἐπίσκοποι, ἐπέχοντες. Τῇ τρίτῃ γὰρ ἱσταμένου τοῦ Ἀπριλίου κατὰ τὸ αὐτὸ σωτήριον ἔτος, ἐν τῇ ἁγίᾳ καὶ κλητῇ καὶ κοσμοσωτηρίῳ ἡμέρᾳ τῆς τοῦ Ζωοδότου ἐκ νεκρῶν Ἀναστάσεως, ἐν ᾗ ἐχθροὶ καὶ φίλοι, ὡς ἐν ἐπινικίῳ χαρᾷ καὶ πανηγύρει περιπτυσσόμενοι ἀλλήλους ἐν ἀδελφικῷ φιλήματι, πανηγυρίζομεν τὰ κατὰ τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας τρόπαια καὶ νικητήρια τῆς ἐκκλησίας διὰ Ἰησοῦ Χριστοῦ, ἐν ταύτῃ τῇ λαμπρᾷ καὶ τῆς κοινῆς ἀγαλλιάσεως ἡμέρᾳ ὁ τοῦ προμνησθέντος Παλαταίου Βουλγαρικοῦ ναίσκου (ἔστι δ'ὁ Παλατᾶς ἀγχιτέρμων τῇ τοῦ Φαναρίου συνοικίᾳ, ὧν ἀμφοῖν μέσος ἵδρυται ὁ Βουλγαρικὸς ναὸς) χωρεπίσκοπος Ἱλαρίων, ἀνιλέῳ διανοίᾳ καὶ παντόλμῳ γλώττῃ ἀπαλείψας ἐκ τῶν ἱερῶν διπτύχων τὸ μνημόσυνον τοῦ δικαίου καὶ κανονικοῦ Πατριάρχου, οὐδὲν παθὼν αὐτὸς, οὐδενὸς ἐκεῖνον κατεγνωκότος, ἐμνημόνευσε καὶ τότε κἀν τῷ ἐπιόντι, καθάπερ αὐτοκέφαλος καὶ αὐτοχειροτόνητός τις Ἀρχιεπίσκοπος πάντων τῶν ἁπανταχοῦ Βουλγάρων, « πάσης ἐπισκοπῆς ὀρθοδόξων »· τῇ δ' ὑστεραίᾳ καὶ ἐφεξῆς ἀδεῶς καὶ ἀσυστόλως ἐχοροστάτει δίχα τῆς κανονικῆς ἀδείας, καὶ λάρυγγι σχισματικῷ ἠλάλαζε τὸ ἀποτρόπαιον τῆς πνευματικῆς καὶ ἠθικῆς ἐπαναστάσεως κήρυγμα. Τηνικαῦτα μὲν οὖν, ὥσπερ ἦν εἰκὸς, μετὰ δευτέραν πρόσκλησιν ἐκὼν ἀέκων ἐπὶ Συνόδου παραστὰς (τῇ ιγ. ἀπριλίου), οὐκ εἶχεν ἄλλως συσκιάσαι τὸ ἔγκλημα, ἢ τεχνηέντως ἐπισείων τῷ Ἱερῷ τουτῳὶ Συνεδρίῳ τοῦ λαοῦ τὸ κέλευσμα, καὶ ἀπειλῶν μὲν, ὡς ἀπαρέσκοι ἄρα τῷ Βουλγαρικῷ λαῷ ἡ ἐκκλησιαστι-

κὴ Ἀρχὴ, ὑποδεικνὺς δὲ οὕτω τὸ ἀμεταμέλητον. Καὶ ἀληθῶς τῇ ἀντικανονικῇ ἐμμένων βουλῇ, καὶ ἔκτοτε συμπαρασύρας τόν τε πρώην Δυρραχίου Αὐξέντιον καὶ κατόπιν τὸν Φιλιππουπόλεως Παΐσιον, ἄμφω οὐδενὸς δευτέρους τὴν ἀντικανονικὴν ἀπόνοιαν ἀναφανέντας, ἑδραῖον ἔπηξεν ἔν τε Κωνσταντινουπόλει παρὰ τὰς πύλας τοῦ Πατριαρχικοῦ Ναοῦ, καὶ βραδύτερον ἔσθ' ὅπου τῶν Βουλγαρικῶν παροικιῶν, ἑδραῖον καὶ ἀπεσχισμένον θυσιαστήριον, νέος Ναυάτος ἐν τῇ Νέᾳ-Ῥώμῃ ἀρχηγὸν ἑαυτὸν τῆς τῶν Βουλγάρων ἐθνικῆς ἐκκλησίας καὶ ὀνομάζων καὶ κηρύττων καὶ μνημονευόμενος. Τῶν δ' ἄλλων δύο, (ἵνα μὴ τὸν κοιμηθέντα ταράξωμεν) ὁ πρὸ τοῦ καθαιρεθῆναι Φιλιππουπόλεως Παΐσιος, ἐν τῇ Φιλίππου πόλει τέως τὰς διατριβὰς ποιούμενος, οὔτε τὸ εἰωθὸς ψηφοδέλτιον εἰς Βασιλεύουσαν ἔπεμπε, τὸ ἐπὶ τῇ ἐκλογῇ τοῦ Πατριάρχου (φθὰς γὰρ κατὰ μάϊον ὁ Παναγιώτατος κὺρ Κύριλλος τὴν παραίτησιν ἐποιήσατο), οὔτε μὴν, λόγον ἀπαιτούμενος ὑπὸ τῆς ἐκκλησίας περὶ ὧν κατηγορεῖτο, διδόναι ἤθελεν, ἐπηρκεῖτο δὲ γράφων χρῆναι τὸν Ποιμένα τῇ οἰκείᾳ ποίμνῃ ἕπεσθαί τε καὶ συμφρονεῖν· ἕως οὗ ἐξ ἀλογίας εἰς ἀλογίαν μεταπηδῶν, ἐξέκοψε καὶ αὐτὸς τὸ κανονικὸν τοῦ Πατριάρχου μνημόσυνον, καὶ στάδιον εὐρὺ ἀδιαλείπτων καί ποθ' αἱμοσταγῶν σπαραγμῶν ἀπέφηνεν ὁ δείλαιος τὴν ἑαυτοῦ πολυπληθῆ καὶ εὐανδροῦσαν Μητρόπολιν.

ι') Ἐν τούτοις τοίνυν σαλευόντων τῶν Βουλγαρικῶν πραγμάτων, καὶ πολλαχόθεν μὲν γραμμάτων ἱκετευτικῶν ἀφικνουμένων ὁσημέραι, καὶ ἀνακλαιομένων τὰ μυρίων θρήνων ἄξια ἐμφύλια δεινὰ, τὰ ἠθικὰ καὶ τὰ κοινωνικὰ, διὰ τοὺς παρεισφρήσαντας ὀλίγους δημοκόπους καὶ λυμεῶνας, τοὺς νηποινεὶ κατορχουμένους τῶν ἄγαν μακροθύμων τρόπων τῆς ἐκκλησιαστικῆς ἀρχῆς, τοῦ δὲ λοιποῦ παντὸς χριστεπωνύμου πληρώματος, ὅσον μὴ Βουλγαρικὸν, ἀσχάλλοντος καὶ ἀγανακτοῦντος ἐπὶ τῇ τηλικαύτῃ ἀνοχῇ τῆς ἐκκλησίας, ὑφ' ἧς ἀνάστατος γενέσθαι κινδυνεύει ὅλος λαός· ταῦτα ἐμβριθῶς σκεψάμενος καὶ τὸ μέγεθος ἀναμετρήσας τῆς εὐθύνης ὁ Παναγιώτατος προκάτοχος ἡμῶν κὺρ Ἰωακεὶμ, Σύνοδον ἔγνω συγκροτῆσαι ἱερὰν καὶ μεγάλην (τῇ δ' φεβρουαρίου τοῦ ᾳωξα'ου σωτηρίου ἔτους) ἀπό τε τῶν Παναγιωτάτων Πατριαρχῶν πρώην Κωνσταντινουπόλεως, καὶ τῶν κατ' ἐκεῖνο καιροῦ συνενδημούντων Μακαριωτάτων, καὶ πάντων τῶν παρεπιδήμων Μητροπολιτῶν (ἐν οἷς καὶ Βούλγαροι τὸ γένος, ὅ,τε Ῥόδου Ἰγνάτιος, καὶ Νυσσάβας Δωρόθεος, καὶ ὁ Βράτζας Παΐσιος). Ἡ δὲ δὴ Ἁγία καὶ Μεγάλη αὕτη Σύνοδος, εὐλαβῶς καὶ προσηκόντως ἀνασκεψαμένη πᾶσαν τὴν ἀντικανονικὴν διαγωγὴν καὶ πολιτείαν τοῦ τε Μακαριουπόλεως Ἱλαρίωνος καὶ τοῦ πρώην Δυρραχίου Αὐξεντίου, καὶ τὸ ἐν γνώσει καὶ ἐπιμόνως στασιαστικὸν καὶ παντάπασιν ἀγνωσιμάχητον τῶν ἐπισκόπων τούτων ἐν συνοχῇ καρδίας κατιδοῦσα, καὶ μὴν καὶ τὰς ἐνθένδεν συνεπείας πάσας ἀνὰ μίαν ἐπὶ μακροῦ ἀναλογισαμένη, τρὶς δὲ κατὰ τοὺς κανόνας μεταπεμψαμένη πρὸς ἀπολογίαν, ὡς εἶδεν αὐτοὺς ἀπειθοῦντας καὶ σκληροτραχήλους, καθεῖλε μὲν τοῦ Ἀρχιερατικοῦ βαθμοῦ ἐν ἁγίῳ Πνεύματι, ὡς οὐκ αὐτοὺς μόνους τῶν Ἱερῶν καθεστώτων κατεπανεστηκότας, καὶ τῶν ἐκκλησιαστικῶν θεσμῶν καὶ κανόνων καταφρονητὰς, ἀλλὰ τὸ ἐπ' αὐτοῖς καὶ ὅλῳ τῷ Βουλγαρικῷ λαῷ κακοὺς κακίστης ἀνταρσίας καὶ διαφορᾶς εἰσηγητὰς καὶ κήρυκας καὶ λαοφθόρων σκανδάλων σπορεῖς γεγονότας· συγκαθελοῦσα δὲ διὰ παραπλησίους λόγους καὶ τὸν συνένοχον Παΐσιον, καὶ τοὺς τρεῖς ἠνάγκαστο ἐπὶ χρόνον ὑπερορίσαι, ἅτε δὴ καὶ μετὰ τὴν καθαίρεσιν τῇ κακοτρόπῳ μὲν ἐπιμένοντας προαιρέσει, τοὺς δὲ σὺν αὐτοῖς ἀναταράττειν ἐκ παντὸς τρόπου ἐπιχειροῦντας. Ἵνα δὲ ἡ Σύνοδος μὴ μόνον παιδεύουσα φαίνοιτο τοὺς ἐν τῇ ἀταξίᾳ πρωταγωνιστήσαντας, ἀλλὰ καὶ τὴν πρὸς τὸν Βουλγαρικὸν λαὸν ἐνδείξαιτ' αὖθις ἐξαίρετον καὶ ἀτεχνῶς μητρικὴν τῆς ἐκκλησίας στοργὴν καὶ προσπαθεστάτην κηδεμονίαν, τρεῖς μὲν πάλιν αὐτοῖς ἐδωρεῖτο Μητροπολίτας, Ἄνθιμον καὶ Πανάρετον καὶ Ἰγνάτιον, τὸν μὲν εἰς τὴν τοῦ Φιλίππου, ἐκεῖνον δὲ εἰς τὴν Πρέσλαβαν, τὸν δὲ Ἰγνάτιον εἰς τὸ Κεστεντήλιον, καὶ τοὺς σύντρεις τῆς Βουλγαροσλαβικῆς φωνῆς ἐθάδας γνωριζομένους. Σύναμα δὲ καὶ προνομίας καὶ φιλοτιμίας ἔστιν ἃς ταῖς ἀνὰ τὴν Βουλγαρίαν παροικίαις εἰδικῶς ἐχαρίζετο, ἐν πεντεκαίδεκα μὲν ἄρθροις διατυπωσαμένη, τὴν δὲ εἰς τὸ διηνεκὲς ἰσχὺν αὐτῶν καὶ ἀσφάλειαν διά τε ἐγκυκλίου (τῇ κέ. φεβρουαρίου ἐν τῷ αὐτῷ ἔτει ἐκδεδομένης) καὶ διὰ Σουλτανικοῦ θεσπίσματος εἰσάπαξ κατοχυρωσαμένη.

ιά) Αἱ μὲν οὖν πράξεις αὗται ταυτησὶ τῆς ἐκτάκτου Συνόδου οὐκ εἰς μακρὰν αἰσίως ἐκαρποφόρησαν· ἔνθεν μὲν γὰρ φραγμός τις ἐπετέθειτο ταῖς αὐθαιρέτοις τῶν περὶ τὸν Ἱλαρίωνα ἐπηρείαις· ἔνθεν δ' οὕτω λωφῆσ' ἐπεγένετο τὴν ἐκ τῶν Βουλγάρων οὐνίαν, ὥσθ' οἵ γε πλείους τῶν ἀπάτῃ πτερνισθέντων, κἀκ τῶν κόλπων τῆς ὀρθοδοξίας ἀποσκιρτησάντων, ταχὺ τοὺς ἐξαπατήσαντας ἀπελάκτισαν. Καὶ δὴ ὁ μὲν Παποχειροτόνητος ἐπίσκοπος Ἰωσὴφ ὁ Σοκόλσκης σὺν τῷ περὶ αὐτὸν Πρεσβυτερίῳ τῇ ὀκτωκαιδεκάτῃ τοῦ μηνὸς Ἰουνίου τοῦ αὐτοῦ ἔτους ἀφανὴς ἐγίγνετο, πολλά τε καλά τε πρότερον νουθετήσας καὶ ἐντειλάμενος τοῖς ὁμογενέσι, μεμνῆσθ' ἀπιστεῖν τοῖς ὅθεν ποθὲν ἀναδυνούσαις ἀλώπεξιν, οὐδὲν ὅ, τι μὴ καθυπισχνουμέναις ὑπὲρ τοῦ ἀγρεῦσαι ψυχάς τε καὶ σώματα. Τὰ δὲ ἐν τῇ Οὐνίᾳ περιλειφθέντα συντρίμματα, ἑπταμήνου διελεγλυθότος, μόλις εὗρισκε τὸν ἐπιτροπεύοντα κοινωνικῶς παρὰ τῇ Ὑψηλῇ Πύλῃ Ἀραβαντζίσκην τινά, οὐνιτομανῆ διὰ τὸν μαμωνᾶν τῆς ἀδικίας, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. Ἀλλ' ἔμπης οἱ τοῦ Βουλγαριστικοῦ φυλετισμοῦ θερμότεροι θιασῶται καὶ πρόμαχοι, οὕτως ἐμφανῶς καὶ κραταιῶς ἀναχαιτισθέντες ὑπὸ τῆς Ἐκκλησίας, ἑτέραν ἐτράποντο, καὶ μάλα σκολιὰν, εὐτυχεστέραν δ' αὐτοῖς ἀτραπόν. Τὴν γὰρ τῶν ὁμοτρόπων ψευδεπισκόπων καθαίρεσιν δολίως ἡρμηνευκότες ὡς ὅλου τοῦ Βουλγαρικοῦ λαοῦ βαρὺν ἀφορισμόν, οὕτω τὰς ἐπαρχίας ὑπεξέκηαν καὶ ἠγρίαναν, ὡς ἐνιαχόθεν μὲν πάντας, μικροῦ δεῖν, τοὺς παρὰ τῆς Μεγάλης Ἐκλησίας σεπτοὺς Ἱεράρχας ἑνὶ συνθήματι ἤτοι ἀνάγκῃ ἀπελαθῆναι, ἢ ἀεικῶς ὑβρισθῆναι ἢ τὸ ζῆν λιμῷ τε καὶ χειρὶ ἐπαπειληθῆναι, καὶ ὥσπερ ἀλλοφύλων καὶ ἀλλογενῶν (καὶ τοῦτο γὰρ ἐλοιδόρησαν ἡμᾶς, ὃ ἡ Γραφὴ οὐκ ἄλλοις νέμει, ἢ τοῖς ἀλλοθρήσκοις, ἐξονειδίζουσα)· οὐκ ἐθελησάντων συναποστατῆσαι, ἐξηλεῖφθαι αὐτῶν τὰ κανονικὰ μνημόσυνα ἐν ταῖς Ἱεραῖς μυσταγωγίαις καὶ ἁγιστείαις, ἵνα παναθέσμως μνημονεύοιτο τὰ τῶν κανονικῶς καθῃρημένων καὶ ἀποστάντων· καὶ καλὸν λοιπὸν καὶ ἀναπεπταμένον, ἀφύλακτόν τε καὶ ἀποίμαντον ποίμνιον τῇ τε ἀγυρτείᾳ Ἱερέων βαναύσων καὶ ἀσυνειδήτων ἢ καὶ ψευδωνύμων καὶ τῇ λύττῃ θηρῶν ἁρπαλέων καταλελεῖφθαι· πάνυ δὲ χρηστῆς καὶ φιλομαθεστάτης φύσεως ἄβρους Βουλγαρόπαιδας τῶν ἑλληνικῶν διδακτηρίων ἀποσπασθέντας αὐτῇ χειρὶ τῶν οἰκείων Βουλγαριστῶν γεννητόρων, σχολαῖς ἑτεροδόξοις ἐκδίδοσθαι, τὰ ἔκφυλα διδασκούσαις καὶ τῶν πατρίων ὑπεροπτικά.

ιϐ'.) Οὐδὲ μὴν ἔστερξαν τὰ ἰδιωτικὰ καὶ ἐπαρχιακὰ καθ' ἑαυτοὺς διαπραττόμενοι ἀτακτήματα· ἀλλὰ πενταμήνου μὲν ἄρτι διελεγλυθότος ἀπὸ τῆς συγκροτήσεως τῆς προῤῥηθείσης Μεγάλης Συνόδου, ἤδη δὲ καὶ τῶν κοινῶν Κανονισμῶν καὶ τῶν μνησθέντων πεντεκαίδεκ' ἄρθρων κεχυρωμένων, Βούλγαροί τινες τῶν τὰ πρῶτα φέρειν δοκούντων ἐν τῇ σπείρᾳ, ἀνενεχθέντες μὲν τῇ Ὑψηλῇ Κυβερνήσει δι' ἱκετηρίας περὶ τοῦ ἐκκλησιαστικοῦ τῶν Βουλγάρων χωρισμοῦ ἀπὸ τοῦ Γραικικοῦ Πατριαρχείου (οὕτω γὰρ καλεῖν εἰώθασιν οἱ φυλετισταὶ τὸν καθ' ἡμᾶς Ἁγιώτατον, Ἀποστολικὸν καὶ Οἰκουμενικὸν Θρόνον), οὐ μὲν εἰσακουσθέντες, ἀλλ' ἕτερα προτραπέντες αἰτήσασθ' αἰτήματα, ἅττ' ἂν ἐθέλωσι, περὶ τῆς κατ' αὐτοὺς ἐκκλησιαστικῆς καὶ ἐθνικῆς διοικήσεως, ἐπέδοσαν αὐτῇ (τῇ θ'. Ἰουνίου τοῦ ᾳωξάου ἔτους) ὀκτὼ προτάσεις, ἃς ἡ Ὑψηλὴ καὶ φιλυπήκοος Κυβέρνησις οὐκ ὤκνησεν ἡμιεπισήμως συστήσασθαι τῇ κρίσει καὶ, εἰ ἔνι, τῇ ἀποδοχῇ καὶ ἐγκρίσει τοῦ Οἰκουμενικοῦ Πατριάρχου. Ἡ δὲ Αὐτοῦ Παναγιότης, ὁ σεβασμιώτατος κὺρ Ἰωακεὶμ μετὰ καὶ τῆς περὶ αὐτὸν Ἱερᾶς Συνόδου ἐξ ἑτοίμου ἀπεκρίναντο, τὸ ἀσυμβίβαστον ἀποδεικνύντες πρὸς τοὺς Ἱεροὺς Κανόνας καὶ τὰ καθεστῶτα τοῦ Πατριαρχείου. Ἡ μέν τοι Υ. Κυβέρνησις, ἔτος ὅλον ἀναμείνασα καὶ τὸν ἐκκλησιαστικῶς στασιαζόντων τὴν ὁρμὴν οὐ βίᾳ μετελθεῖν προθυμουμένη, ἀλλὰ μαλακωτέροις καὶ ἠπίοις τρόποις καθυφιέναι ἠρέμα καὶ χαλινοῦν, προεκαλέσατο διαγγέλματι ὑπουργικῷ (τῇ κδ' Ἀπριλίου τοῦ ᾳωξϐ'. ἔτους) τὴν σύστασιν Μικτῆς ἐπιτροπῆς ἀπὸ Γραικῶν ὁμοῦ καὶ Βουλγάρων ἀνὰ πέντε, ἣ καὶ διετίαν που μάλα δυσχερῶς καὶ ἐναντιφωνίᾳ συνεργασαμένη παρὰ τῇ ὀθωμανικῇ Πύλῃ (οὐ γὰρ ἐν τοῖς Πατριαρχείοις, εἰς ἃ καὶ ἀντιβλέψαι τισὶ τούτων τῶν φυλετιστῶν δοκεῖν ἀπαίσιον), ἐξ ἀνάγκης προσήραξέ τε καὶ ἐναυάγησε κατὰ τῆς αἱρετικῆς ὑφάλου τοῦ πληθοφυλετισμοῦ. Καὶ τηνικαῦτα δὲ τὰ μέλη τῆς ἐπιτροπῆς, ὅσα μὴ Βούλγαροι, ἀποχωροῦντες τοῦ ἀκάρπου τούτου συνεδρίου ὑπέβαλον τῷ ὑψηλοτάτῳ ὑπουργῷ τὴν περὶ ὧν καὶ ὅπως εἰργάσαντο, καὶ ὧν τὰ Βουλγαρικὰ μέλη παρεμβεβλήκεσαν πρὸς τὴν νόμιμον εἰρή-

νευσιν ἀνυπερβλήτων προσκομμάτων ἔκθεσιν. Πάλιν οὖν αὖθις ἡ τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία, τὴν Πατριαρχείαν διαδεξαμένου τοῦ Παναγιωτάτου κὺρ Σωφρονίου, προτροπῇ μὲν τῆς ὑψηλῆς Κυβερνήσεως οὐκ ἄκουσα πειθομένη, οἴκτῳ δὲ μητρικῷ καμφθεῖσα ὑπὲρ τοσούτων προβάτων, τῷ τιμίῳ αἵματι τοῦ θεανθρώπου ἐξηγορασμένων, ἀποιμάντων δὲ ἀποβουκολουμένων τε καὶ διαρπαζομένων πρὸς τοῦ παρατυχόντος, καὶ διὰ τοῦτο σπουδῇ ζεούσῃ τῆς ἐπιμελοῦς ἐρεύνης ἐπιλαβομένη τῶν ὀκτὼ τούτων Βουλγαρικῶν προτάσεων, καὶ ἐπὶ κοινοτέρᾳ διασκέψει περὶ τῶν αὐτῶν γενικὴν Συνέλευσιν προσκαλεσαμένη (τῇ κδ'. Φεβρουαρίου τοῦ ᾳωξδ'ου σωτηρίου ἔτους), ἐκ δὲ τῶν αὐτῆς λογιωτέρων μελῶν ἐννεαμελῆ διαφωτιστικὴν ἐπιτροπὴν ἐκλεξαμένη, σαφέστερόν τε καὶ συστηματικώτερον φωράσουσαν τὰ ἀντικανονικὰ καὶ πλημμελῆ μετὰ τοῦ σαφηνίσαι τὰ εὔλογά τε καὶ δίκαια, καὶ μετὰ ἑπτὰ συνεδριάσεων συνδιασκέψεις τὴν προσήκουσαν ἀπάντησιν συνταξαμένη, οἵαν ἡ τῆς συνελεύσεως πλειονότης ἐπιεικέστερον ὑφηγεῖτο, παρέπεμψεν αὐτὴν πρὸς τὴν ὑψηλὴν Κυβέρνησιν, δι' ἧς καὶ πᾶσαι αἱ Βουλγαρικαὶ προτάσεις πρὸς τὴν ἐκκλησίαν διεπέμποντο.

ιγ') Καί τοι γε οὐδ' ὁ τοσοῦτος ἀγὼν τῶν ἐπιτροπῶν τούτων καὶ τῶν Συνελεύσεων τερματεῖν τὸ δρᾶμα τοῦτ' ἤμελλεν, οὐδ' ἐγγύς· οὔπω δὲ ὅλη διετία διήνυστο, καὶ, ἐπεί περ οὐ διέλειπον ἀνένδοτοι τὴν κατὰ τῆς ἐκκλησίας ὑποτρέφοντες ἐπανάστασιν οἱ ὑπηρέται καὶ πράκτορες τοῦ Βουλγαριστικοῦ φυλετισμοῦ, τούτων, ὡς εἰκάσαι, τῇ ἀπαραιτήτῳ καὶ δυσαπαλλάκτῳ φορτικότητι ἐνδιδοὺς αὖ πάλιν ὁ καὶ μάλ' ἀνεκτικώτατος ὑπουργὸς παρέπεμπεν εἰς τὰ Πατριαρχεῖα (τῇ κς'. Ἀπριλίου τοῦ ᾳωξς'. σωτηρίου ἔτους) ἑτέρας ἓξ βουλγαριστικὰς προτάσεις, ὁμοίως ταῖς προλαβούσαις, ἰδέας καὶ ταύτας πληθοφυλετικῆς καὶ στασιώδους, ἔργῳ βεβαιούσας, ὅτι ἐπὶ ψάμμου κτίζει καὶ τὸν Αἰθίοπα λευκαίνει, εἴ τις ἀρέσκειν ἀνθρώποις ἐπιχειρεῖ, ἤτοι ἐν δευτέρῳ λόγῳ τὸ θρήσκευμα ποιουμένοις, ἢ τὰ ἴδια καὶ ὑλικὰ ὑπεράνω πάντως δῆτα τῶν πνευματικῶν καὶ δημοσίων τιθεμένοις, οἷοι ἀνομολογοῦνται οἱ πρωτουργοὶ τοῦ δράματος. Πλὴν ἀλλ' οὐδαμῶς διὰ τὴν τηλικαύτην ἰσχυρογνωμοσύνην ἀπονα ρκήσασα ἢ ἀθυμήσασα ἡ καθ' ἡμᾶς Ἐκκλησία, ἀπεί-

πατο τοῖς ὅλοις μὴ οὐ πολυπραγμονῆσαι καὶ περὶ αὐτῶν δὴ τῶν προτάσεων, καὶ τὰ εἰκότα συσκέψασθαι· ἀλλὰ τετληότι καὶ ἀνεξικάκῳ νῷ ἀναλαβοῦσα τάξιν ἀπαθοῦς καὶ μάλα φιλοστόργου Μητρὸς, οὐδὲν ὅ,τι μὴ πάθημα ὑπομενούσης ἕως ἂν σωθῇ αὐτῇ τὸ τεκνίον, ἐκ καινῆς αὖθις τὴν γενικὴν ἐκάλει Συνέλευσιν, τὴν ἐκ λογάδων κληρικῶν ὁμοῦ καὶ λαϊκῶν, ἢ ἐκ τῶν αὐτῆς εὐδοκιμούντων ἐμπειρίᾳ καὶ σπουδαιότητι μελῶν ἑξαμελῆ ἐπιτροπὴν ἐξελέξατο, τὴν ἐκμελετήσουσαν καὶ σταθμησομένην τὴν τῶν προτάσεων τούτων δύναμιν. Ἡ οὖν ἐπιτροπὴ οὐ μόνον τὰς προτάσεις ἀναλύσασα, ἀπεδείκνυ, ὡς εἰκὸς, κανονικῶς τε καὶ κοινωνικῶς ἀπαραδέκτους οὔσας, ἀλλὰ, τὸ ἀξιολογώτερον, ἴδιον σχεδίασμα παρεσκεύασε, ζητοῦσα λύσιν θεμιτὴν μὲν οὐσιωδῶς, ἐπιτηδείαν δὲ, εἰ δυνατὸν, μήτε τοῖς Βουλγάροις ἀπαρέσκειν, μήτε τοῖς ἄλλοις ὀρθοδόξοις δόξαι διασπᾶν τὴν τοῦ θρόνου διοικητικὴν ἑνότητα.

ιδ'.) Ἤδη δὲ τῆς ἐπιτροπῆς ταύτης πρὸς τῷ τέρματι, ὅσον οὐκ ἤδη, γεγονυίας οὗ ἐπετέτραπτο ἔργου καὶ φροντίσματος, ἐπὶ ἐνιαυτὸν, ὀλίγου δεῖν, αὐτὴν ἐνησχοληκότος, μάλιστα διὰ τὸ δυσκάμπτως ἔχον πρὸς τὸ θέλειν μεταπείθεσθαί τε καὶ ἀναδιδάσκεσθαι τὰ ὀρθὰ βουλγαρογενὲς (ὡς γοῦν αὐτὸς αὐτὸν ὀνομάζει) ἕκτον μέλος (ἦν δὲ οὗτος ὁ Φιλιππουπόλεως Πανάρετος, πολλῷ χείρων τοῦ προκατόχου γενόμενος τὴν προαίρεσιν), ὑπεκχωρεῖ μὲν τοῦ Θρόνου ὁ προκάτοχος ἡμῶν Παναγιώτατος κὺρ Σωφρόνιος, ἀνακαλούμεθα δὲ ἡμεῖς, ἐλέει τοῦ Κρείττονος, σὺν πολλῇ τῇ δειλίᾳ καὶ ἀθυμίᾳ, ὅπως δὲ δήποτε, καὶ δεύτερον ὑποδύντες τὸν ζυγὸν τοῦ Κυρίου, αὐτίκα πρώτιστον ἐποιησάμεθα μέλημα εἰς πέρας ἀγαγεῖν ὡς τάχιστα τὴν κανονικὴν καὶ, καθ' ὅσον ἐφικτὸν, ἑκατέροις οὐκ ἄχαριν τούτου δὴ τοῦ πολυκρότου Βουλγαρικοῦ καλουμένου ζητήματος λύσιν. Εἰς τοῦτο γὰρ πολλῶν ἡμᾶς καὶ μεγάλων ἐξοτρυνόντων καὶ κατεπειγόντων, μέγιστον ἐδόκει, ὃ καὶ τῇ Ἐκκλησίᾳ διαφερόντως ἀνιαρὸν καθειστήκει, τὸ τηλικοῦτο, φαμὲν, ἐπιδήμιον καὶ λοιμῶδες σκάνδαλον τῆς ἐνίων τῶν ἡμετέρων Βουλγαρικῶν τούτων τέκνων ἐκκλησιαστικῆς ἀνταρσίας, ὃ καθ' ἡμέραν διαδιδόμενον ἐν τῷ ἀλλήλους ἀνερεθίζειν, καὶ τῷ χρόνῳ ταῖς ψυχαῖς ἐνιζάνον καὶ παγιούμενον, ταῖς δὲ νεωτέραις ἡλικίαις ἠρέμα καὶ κατὰ μικρὸν ὑπεισερπύζον καὶ συντρεφόμενον, πάνδημον

ἠπείλει καὶ ἀνίατον ἀποβήσεσθαι νόσημα, σὺν τῷ ψυχικῷ ὀλέθρῳ καὶ τὸν ἀκρωτηριασμὸν ἐπάγον τοῦ ἐνιαίου καὶ συμπαγοῦς σώματος τῆς ἐκκλησίας. Ταῦτα τοίνυν οὐκ ἐν παρέργῳ διανοούμενοί τε καὶ ἀναπεμπάζοντες, καὶ τὴν βαρεῖαν, ἣν ἀνειλήφαμεν, εὔθυναν ἐνώπιον αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν οὐ κατὰ πάροδον ἐνθυμούμενοί τε καὶ δεδιότες, καὶ μὲν δὴ καὶ τὸν ἄνωθεν μετὰ δακρύων ἐπικαλεσάμενοι φωτισμὸν, σπουδαιότερον ἀναθεωρῆσαι καθ' ἑαυτοὺς τὴν ὑπόθεσιν ὡρμήθημεν, ὅσον γ' ἐνῆν ἀπὸ τῶν ἄλλων μεριμνῶν τῆς Πατριαρχείας σχολάσαι, τῶν δὲ ἐν τῷ πρόσθεν παρηγμένων παντοίων ἐπὶ λύσει τῆς διαφορᾶς σχεδίων οὐδενὸς, ὡς ἔπος εἰπεῖν, ὀλιγώρως ἔσχομεν, εἴπως δὴ ῥᾷον τοῦ ἐπιδιωκομένου περιγενοίμεθα. Τούτων τοίνυν τ' ἄλλα τὰ πρότερα σαφῶς ἤδη καταμεμαθηκότες, καί τοι πόρρω τῆς ὑπὲρ Βουλγάρων ἐπιεικείας καὶ συγκαταβάσεως ἐλάσαντα, ὅμως ἀνεπαρκῆ τοῖς στασιάζουσι καὶ ἀδόκιμα ἀποδεδειγμένα, ὅτι μὴ τοῖς ὅλοις αὐτοῖς ἐνεδίδου, καθὰ γοῦν ἡμᾶς ἐδίδασκεν ἥ τε ὑψηλὴ Κυβέρνησις καὶ τὰ πράγματα, τούτῳ μᾶλλον τῷ τῆς ἐξαμελοῦς ἐπιτροπῆς σχεδιάσματι προσέσχομεν καὶ συνεπιστήσαμεν τὴν διάνοιαν. Τὴν μὲν οὖν αὐτοῦ τῶν διατάξεων γενικότητα οὐκ ἀσυντελῆ τινα καθ' ὅλου τοῖς καθ' ἡμᾶς πράγμασι τάχα γενέσθαι δυναμένην σαφῶς ἐνεωρακότες, καὶ ἕνεκά γε τούτου ἐπαινέσαντες δεόντως τὸ πονηθὲν, μερικώτερον μέν τοι μηδὲ τοῦτ' ἂν εὐδοκιμῆσαι, ἀποβλαφθῆναι δ' ἂν μᾶλλον ὑπειληφότες, ὡς ἀπὸ τῶν προλαβουσῶν εἰκάσαι παραχωρήσεων, παρ' ἀνθρώπων ἅπαν μονονοὺ τὸ ἐν ταῖς Συνόδοις ἑνὸν θεῖον καὶ ἱερὸν βεβηλῶσαι καὶ ἐξανθρωπίσαι γλιχομένων, καὶ θεωρίας τοῦ νῦν αἰῶνος ὑπεράνω θέσθαι τῶν πνευματικῶν πάντα κάλων κινούντων τε καὶ φιλονεικούντων, ἑτέραν ἐξ ἀνάγκης τραπέσθαι ὁδὸν δεῖν ᾠήθημεν· ἐδόκει γὰρ τῇ ἡμῶν μετριότητι καὶ τῇ σὺν ἡμῖν ἱερωτάτῃ Συνόδῳ τῶν Μητροπολιτῶν, ἡμῶν αὐτῶν ἴδιον παρασκευάσαντας σχέδιον, ἥκιστα μὲν ὑπερβαίνειν τολμῶν τὰ παναγῆ καὶ ἀδαμάντινα τῶν ἱερῶν κανόνων θριγκώματα, μετρίαν δέ τινα τὴν παραμείωσιν ἐνεισάγον ἐν ταῖς τοῦ θρόνου τούτου Πατριαρχικαῖς καὶ διοικητικαῖς προνομίαις ὑπὲρ τῶν ἀγαπητῶν ἐν Χριστῷ Βουλγάρων, ἰδιωτικώτερον αὐτὸ τοῖς κορυφαίοις ἀνακοινοῦσθαι τῶν ὑπουργῶν, καὶ τούτων ἀναμένειν τὴν ὡς τοὺς Βουλγαριστὰς διο-

χέτευσιν. Τοῦθ' ὃ δὴ καὶ γέγονεν ἤδη ἐν μηνὶ Ἰουνίῳ τοῦ παρεληλυθότος ἐνιαυτοῦ.

ιέ.) Οὕτω δὴ μετὰ χρηστοτέρων τῶν ἐλπίδων καὶ ἀμεριμνότερον ἡμῖν ἀπεκδεχομένοις τὴν παρὰ τοῦ ὑπουργείου ἔγκρισίν τε καὶ ὑποστήριξιν καὶ τὴν ὡς ἔνι μάλιστ' ἀπροφάσιστον τοιούτου σχεδίου παρὰ τῶν Βουλγάρων παραδοχὴν, οὗ πέρα εἴσω τοῦ φραγμοῦ τῶν ἱερῶν κανόνων, εἴσω τῆς περιφερείας ἑνὸς καὶ τοῦ αὐτοῦ Πατριαρχείου τε καὶ Κράτους καὶ τοῖς στασιάζουσιν ἀρέσκον οὐκ ἤδειμεν ἕτερον, ἐξάπινα τὸν παρεληλυθότα μῆνα τούτου δὴ τοῦ ἐπὶ δυσμὰς δρόμῳ ἐλαύνοντος ἔτους Ὑπουργικὸν διάγγελμα παρέπεμπέ τε καὶ συνίστα ἕτερα δύο σχέδια εἰς λύσιν τῆς διαφορᾶς, ἐντελλόμενον ἤτοι τούτων θάτερον ἀσπάσασθαι, ἢ τρόπον ἕτερον ἀποδεικνύναι, οὐχ ὅστις γε καὶ τοὺς Βουλγαριστὰς ἑλκύσει, καὶ τὴν ἐκκλησιαστικὴν παράδοσιν σὺν τῇ κατὰ τὸ Εὐαγγέλιον ἀφυλετίστῳ ἑνότητι φυλάξει τε καὶ βεβαιώσει· ἀλλ' ἁπλῶς τοιοῦτον, οἷον παρ' ἑκατέρων δοκιμασθῆναι καὶ ἐγκριθῆναι, ὥσπερ τῆς τῆς λύσεως ὀρθότητος οὐκ ἀπὸ τῆς τῶν Γραφῶν καὶ τῶν Συνόδων ἀπαραχαράκτου ἀληθείας, ἀλλ' ἐκ θελήματος ἀνθρώπου, ἄλλοτ' ἄλλου καὶ γεηροῦ, κρεμαμένης.

Τὰ οὖν σχέδια ταῦτα ἐῴκει ἡμῖν, ἰδίᾳ τε καὶ ἐν κοινῷ σκοπουμένοις, πολὺ τὰ προλαβόντα πάντ' ἀπολελοιπέναι, τὴν ἀντικανονικότητα, ἀπαρακαλύπτως μὲν καὶ ἀνακεκηρυγμένως διαγράφοντα καὶ καθορίζοντα τὴν κατὰ φυλὰς καὶ πλήθη ἀσεβῆ καὶ βέβηλον διχοτομίαν τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, τοὺς δὲ ἀνυπερβάτους ὅρους τοῦ ἱερατεύειν καὶ ἐπισκοπεῖν συγχέοντα οὐ μόνον ἐν τῇ Πατριαρχικῇ περιφερείᾳ καὶ πάσαις τῶν ἁπανταχοῦ ἐπισκοπῶν καὶ Μητροπόλεων, οὗ ἂν συναυλίζωνται Βούλγαροι, ἀλλ', ὃ ἀνύποιστον καὶ ταραχωδέστατον, καὶ ἐν παντὶ οἴκῳ χριστιανικῷ, ἐν ᾧ ἂν μέλος ἓν ἢ πλείω, ἀνὴρ ἢ γυνὴ, ἤ τῶν τις οἰκετῶν καὶ θεραπόντων, τύχῃ τὸ γένος ἕλκειν δοκῶν ἐκ Βουλγάρων· καὶ ἄρδην ἄρα καὶ προθέλυμν' ἀνατρέπειν ἐπειγόμενα πάντα τὸν τῆς ἐκκλησίας διὰ πάντων τῶν αἰώνων ἀσφαλῆ καὶ μόνιμον εὐαγγελικόν τε καὶ συνοδικὸν διάκοσμον, μάλιστα τὸν ἠθικὸν καὶ διοικητικόν. Ἔνθεν τοι καθ' ἕκαστον ἄρθρον ἐπιμελῶς βασανισθέντων, καὶ τοῖς ἱεροῖς κα-

νόσι καὶ τῇ λοιπῇ ἐκκλησιαστικῇ καὶ ἱερᾷ παραδόσει παρεξετασθέντων καὶ ὡς οἷόν τ' ἀποχρώντως ἀνασκευασθέντων γνώμῃ τε καὶ κρίσει ἰδίᾳ καὶ κοινῇ παρὰ ἐκτάκτου Ἱερᾶς Συνόδου, ἀπὸ τῶν ἐνδημούντων ἱερωτάτων Μητροπολιτῶν καὶ τῶν ὁσιωτάτων Ἀρχιμανδριτῶν καὶ διδασκάλων συγκροτηθείσης, ἡ Μετριότης ἡμῶν ἀπέσταλκεν ἤδη τήν τε Ἀνασκευὴν καὶ τὴν προσήκουσαν Ἀπάντησιν τῷ ὑπουργῷ, οὐ τρόπον ἕτερον λύσεως (οὐδὲ γὰρ ἦν ἡμῖν ἐξευρεῖν ἔτι) συναποδεικνῦσα εὐθαρσῶς καὶ ῥήμασιν ἀνενδοιάστοις παρὰ τὴν συγκρότησιν ἁγίας Οἰκουμενικῆς Συνόδου ἀπὸ πάσης τῆς καθόλου ὀρθοδόξου ἐκκλησίας, σώματος ἁγίου, πᾶσαν ἀξιοπιστίαν φέροντος ψήφου θεοκράντου καὶ ἀπαρατρέπτου, καὶ οὐχ ἧττον αἰδεσίμου καὶ τιμίου ἐσομένου τοῖς ἄρχουσιν ἡμῶν, ἢ καὶ σεβασμιωτάτου, καὶ διαφερούσης προσοχῆς ἀξίου, ἐὰν μὴ πᾶσι τοῖς ἐπονομάζουσιν ἑαυτοὺς ἀντιπροσώπους τῶν Βουλγάρων, ὧν ἡγοῦνται οἱ καθηρημένοι ἐπίσκοποι, ἀλλὰ πάντως σύμπαντι τῷ ἐκ πατέρων εὐσεβοῦντι βουλγαρικῷ λαῷ καὶ τοῖς εὖ φρονοῦσι πρωτοστάταις αὐτοῦ.

ις΄.) Τοιαῦτα, σεβασμιώτατοι καὶ λίαν ἡμῖν ἐν Χριστῷ περιπόθητοι ἀδελφοὶ καὶ συλλειτουργοί, τοιαῦτα, ὡς ἐν κεφαλαίῳ, καὶ παραπλήσια τὰ κατὰ τὴν διαβόητον μοίρας τινὸς βουλγαρογενοῦς ἢ βουλγαροφώνου, (οὐ γὰρ τοῦ ὅλου οὐδὲ τοῦ πλείονος λαοῦ τῶν Βουλγάρων) ἐκφυλετιστικὴν καὶ ἀσύμφυλον καχεξίαν καὶ ἐπανάστασιν ἐν τῷ κόλπῳ τῆς καθ' ἡμᾶς ἁγιωτάτης ἐκκλησίας· καχεξίαν, ἐξ ἧς (ὃ μὴ γένοιτο) εἰ διαδιδοῖτο, κινδυνεύσειαν μετὰ βραχὺ αἱ ἐκκλησίαι πᾶσαι τοῦ Χριστοῦ διασπασθῆναί τε καὶ ὑπ' ἀλλήλων σπαραχθῆναι τοῖς ὄνυξι τῶν γενεαλογιῶν καὶ μύθων, ὃ οὐδεμία ἴσχυσε ποιῆσαι τῶν προτοῦ αἱρέσεων μηδ' ἰσχύσειεν εἰς τὸν αἰῶνα τῇ παντοδυνάμῳ χάριτι τοῦ συναγαγόντος τὰ ἐσκορπισμένα καὶ μίαν ποίμνην ἀπὸ πάντων τῶν ἐθνῶν τῆς ὑφηλίου συγκροτήσαντος. Ταῦτα δὲ δὴ, οὕτω τολμηθέντα καὶ ἀσεβηθέντα κατὰ τῆς πνευματικῆς αὐτῶν μητρός τε καὶ τροφοῦ καὶ εὐεργέτιδος παρὰ ἠγαπημένων ἐν τῇ πίστει γεννημάτων, τῶν Βουλγάρων, πρὸς οὓς εἶχε λέγειν ἡ ἁγιωτάτη τῶν Φωτίων Ἐκκλησία, τὴν ἐν Κυρίῳ οὐκ ἀφρόνως καυχωμένη καύχησιν, τὰ ῥήματα τοῦ μακαρίου Παύλου « εἰ ἄλλοις οὐκ εἰμὶ Ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι· ἐν γὰρ Χριστῷ

Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. » (Κορινθ. Α΄. Θ΄. 2 Δ΄. 15).— Χόλος τοσοῦτος παρὰ Βουλγάρων εὐσεβῶν, χωρῶν μέχρι τοῦ ἐθέλειν ἐν πελέκει καὶ λαξευτηρίῳ τεκτήνασθαι τὸ ὄνειδος καὶ τὴν ταπείνωσιν τῆς ἑαυτῶν πνευματικῆς Μητρὸς, διὰ δὲ τῆς ταπεινώσεως αὐτῆς ἐγεῖραι Βουλγαρεθνικὸν, φασὶν, ἐκκλησιαστικὸν οἰκοδόμημα ἐπὶ σαθρῶν θεμελίων καὶ ἀπὸ ὕλης σαπρᾶς, τῆς συκοφαντίας, τῆς μισαδελφίας καὶ τῆς ἀγνωμοσύνης· ὀργὴ τοσαύτη καὶ οὕτως ἀμείλικτος μετὰ τοσαῦτα καὶ τηλικαῦτα παρὰ τῆς ἐκκλησίας μειλίγματά τε καὶ θωπεύματα. Τοιαύτη ὥσπερ ζάλη τις καὶ φλεγμονὴ ἠθικὴ, ὠθοῦσα καὶ ἐκτραχηλίζουσά τινας Βουλγάρους κατὰ τοῦ πρανοῦς νέων ἀεὶ καὶ ἀλλήλοις ἀνομοίων καὶ σχετλίων καὶ ἀντικανονικῶν προτάσεων καὶ αἰτημάτων καὶ εἰς ἀπέλασιν κανονικῶν καὶ Ἀποστολικῶν Ποιμένων, ὡς ἀφυλάκτους γενομένους, εὐεπιβάτους λοιπὸν πᾶσι τοῖς ἀγρεύουσι ψυχὰς καταστῆναι. Τοιαῦτα, φαμὲν, σκυθρωπὰ καὶ τὸ ἐπίπαν ἀπαίσια σκιρτήματα λαοῦ εὐσεβεστάτου, μαθητοῦ τῆς ἐκκλησίας ταύτης γενομένου, καὶ συγκοινωνήσαντος αὐτῇ τῆς δόξης καὶ τῆς ἀτιμίας, τοῦ πλούτου καθάπερ καὶ τῆς ἀπορίας, τῶν στεφάνων καὶ τῶν ὀδυνῶν, καταλελύπηκε καὶ κατέδακεν ἡμῶν (πῶς δοκεῖς;) σφόδρα σφόδρα τῆς καρδίας, καὶ τὰ σπλάγχνα διέπειρεν. Οἰόμεθα δ' ὅτι καὶ τῆς ὑμετέρας ἐν Χριστῷ περισπουδάστου τε καὶ σεβασμίας κορυφῆς οὐχ ἧττον ἀνιάσει τὰς θεοφιλεῖς ψυχὰς, εἰκότως, τά γε κοινὰ τῶν τοῦ Θεοῦ ἐκκλησιῶν παθήματα, τόσῳ δριμύτερα καὶ χαλεπώτερα ἐνσκήψαντα, ὅσῳ ἐκ τῶν οἰκείων, « εἴτε γὰρ πάσχει (φησὶν) ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. » (Κορινθ. Α΄. ΙΒ΄. 26.) Διὸ δὴ μᾶλλον καὶ τῇ ὑμετέρᾳ γεραρᾷ καὶ σεβασμίᾳ ἐν Κυρίῳ Ἀδελφότητι, καθὼς καὶ πᾶσι τοῖς λοιποῖς προέδροις τῆς Καθόλου ἐκκλησίας, ἔθει παλαιῷ καὶ θεοφιλεστάτῳ κατακολουθοῦντες, τὰ γεγονότα περιληπτικῶς, ὅσον ἐξῆν, καὶ κεφαλαιωδῶς γνωρίσαι, νῦν ὀψὲ γοῦν, ἥδιστα ἐδικαιώσαμεν· ὥστε καὶ αὐτὴν, ἀγαθυνθεῖσαν Ἀποστολικῶς καὶ φιλαδέλφως, μηδαμῶς τὴν τάξιν λείπειν, ἣν οἱ Πατέρες παρέδοσαν· ἀλλὰ πρόθυμον ἀναφανῆναι καὶ συναγωνιστὴν καὶ συναντιλήπτορα, ὅπου σύντριμμα λαοῦ καὶ ψυχῶν ἀπώλεια, νυνὶ μὲν γράμμασιν αὐτῆς ἀποκριτι-

κοῖς παραμυθουμένην τὰ εἰκότα καὶ συνεπιῤῥωννῦσαν πόῤῥωθεν· ὅταν δὲ σὺν Θεῷ φωτίζοντι καὶ εὐδοκοῦντι (καὶ τῆς ἐφ' ἡμᾶς Αὐτοκρατορικῆς ἐπινευσάσης ἂν δηλονότι Κυβερνήσεως), συναγείρηται καὶ συγκροτῆται ἡ ἐφ' ἣν ἐξεκαλεσάμεθα τὸ ζήτημα ἁγιωτάτη τῆς καθόλου ἐκκλησίας Σύνοδος, τηνικαῦτα καὶ Αὐτὴν παρουσιάζουσαν καὶ συμπαραστατοῦσαν. Ἀγαθοὶ μὲν γὰρ οἱ δύο ὑπὲρ τὸν ἕνα, καὶ πολλῷ πλέον οἱ πλείους, εἰς τὸ μεταδιδάξαι καὶ συνετίσαι τὸν ἡμαρτηκότα καὶ ἀκμὴν ἐξαμαρτάνοντα ἀδελφόν, ἄλλως τε καὶ τῆς κατ' αὐτὸν ἐκκλησίας οὐχὶ ἅπαξ οὔτε δὶς καταφρονοῦντα καὶ παρακούοντα. (Ματθ. ΙΗ'. 16—17.) Οἴδαμεν δὲ τῆς ὀρθοδόξου Πίστεως, τῆς περὶ τὸ δόγμα ὁμοίως καθάπερ καὶ τῆς περὶ τὴν πρακτικὴν ἀκρίβειαν, τῶν δύο τούτων χαριτοβρύτων πηξίων τοῦ Παναγίου Πνεύματος, οὐχ ἕνα τινὰ μόνον καθ' ἕκαστον, ἀλλὰ καὶ συλλήβδην πάντας τοὺς ἁπανταχοῦ ἐπισκόπους καὶ Ποιμένας παρὰ Κυρίου τεταγμένους διδασκάλους καὶ φύλακας, καὶ ὅσῳ περ τῶν ἄλλων εὐσεβῶν ὑπερέχουσι, τοσοῦτο νομοφυλακεῖν ὀφείλοντας ἰδίᾳ καὶ κοινῇ εἰς τὴν τῶν ἐκκλησιῶν εὐστάθειαν καὶ τὴν τῶν ποιμνίων σωτηρίαν. Τοιγαροῦν ὑπτίαιν ταῖν χεροῖν καὶ ἀναπεπταμένῃ τῇ καρδίᾳ καὶ τὰ παρὰ τῆς ὑμετέρας γερασμίας καὶ θεοφρουρήτου Κορυφῆς ἀπεκδεχόμενοι ἐπίκαιρα Γράμματα, ἐν ἀδελφικοῖς τοῖς χείλεσι καὶ ὁλοψύχως τὸν ἐν Χριστῷ τῷ Θεῷ ἀδελφικὸν ἀσπασμὸν Αὐτὴν πάλιν καὶ πάλιν κατασπαζόμεθα.

Ὁ δὲ τῆς μιᾶς, ἁγίας, Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας δομήτωρ καὶ τελειωτὴς καὶ κυβερνήτης Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ὁ πρῶτος καὶ μέγας καὶ αἰώνιος Ἀρχιερεύς, ὁ σφάγιον ἑαυτὸν ἑκούσιον ὑπὲρ τῆς τοῦ Κόσμου ζωῆς καὶ σωτηρίας καλλιερησάμενος, καὶ μόνος τοῦ παντὸς εἰρηνάρχης, αὐτὸς καὶ τοῖς τέκνοις τούτοις χαρίζοιτο καρδίαν σαρκίνην καὶ ὦτα εἰς ἀκοὴν πίστεως, τῆς ἐν τῇ πράξει καὶ τῇ θεωρίᾳ πατροπαραδότου Πίστεως, καὶ τῶν τῆς ἐκκλησίας μητρικῶν νουθετημάτων, ἥτις ἐστὶ στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας. Τῇ δὲ ἐκκλησίᾳ πάσῃ δοίη πλάτυνσιν καὶ στηριγμὸν ἐν τῇ ἑνότητι τοῦ Πνεύματος καὶ ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης εἰς δόξαν Πατρὸς, Υἱοῦ καὶ ἁγίου Πνεύματος, τῆς μιᾶς ὑπεραρχίου Θεότητος καὶ Βασιλείας, παρ' ἧς καὶ τὰ ὑμέτερα σεβάσμια ἔτη κρείττω γίγνοιτο πάσης ἐπηρείας, καὶ ὄλβια καὶ πανευφρόσυνα, καὶ τοῖς ὑπ' αὐτῆς ποιμενομένοις πᾶσι σωτήρια. Ἀμήν.

ᾳωξή'. Δεκεμβρίου ις'.

Τῆς ὑμετέρας λίαν ἡμῖν περισπουδάστου καὶ σεβασμίας Κορυφῆς
ἀγαπητοὶ ἐν Χριστῷ ἀδελφοὶ καὶ ὅλως πρόθυμοι

† Ο ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΓΡΗΓΟΡΙΟΣ.

† Ὁ Κυζίκου ΝΙΚΟΔΗΜΟΣ.
† Ὁ Χαλκηδόνος ΓΕΡΑΣΙΜΟΣ.
† Ὁ Δέρκων ΝΕΟΦΥΤΟΣ.
† Ὁ Διδυμοτείχου ΔΙΟΝΥΣΙΟΣ.
† Ὁ Βερρόϊας ΣΩΦΡΟΝΙΟΣ.
† Ὁ Δράμας ΑΓΑΘΑΓΓΕΛΟΣ.
† Ὁ Φιλαδελφείας ΜΕΛΕΤΙΟΣ.
† Ὁ Γάνου καὶ Χώρας ΧΡΥΣΑΝΘΟΣ.
† Ὁ Βοδενῶν ΝΙΚΟΔΗΜΟΣ.
† Ὁ Κορυτζᾶς ΝΕΟΦΥΤΟΣ.

Παροράματα.

Σελὶς	14	Στίχος	13	ἀντὶ	*πνευματικῆς*	γράφε	*πνευματικοῦ.*
»	19	»	20		ἀπαλειφθήτω τὸ ἄρθρον		*τῆς*
»	20	»	30	»	*τάγματος*	γράφε	*τάγματι.*
»	22	»	22	»	*μητροπο.λίται*	»	*μητροπο.λίτας.*
»	33	»	7	»	*συγγερῶν*	»	*συγγόνων.*
»	35	»	20	»	*τὴν*	»	*τὸν*
»	36	»	1	»	*προσή.λασαν*	»	*προή.λασαν.*
»	36	»	21	»	*ἐ.λέγχθη*	»	*ἠ.λέγχθη.*
»	36	»	29	»	*ἐπενεγκεῖν*	»	*ἀνενεγκεῖν.*
»	37	»	24	»	*τοιοῦτον*	»	*τοσοῦτον.*
»	38	»	14	»	*δύνατ'*	»	*δύναιτ'*
»	39	»	29	»	*φι.λαδε.λφείαν*	»	*φι.λαδε.λφίαν.*
»	40	»	13	»	*οἱ*	»	*ἢ*
»	40	»	18	»	*καβέβ.ληται*	»	*καταβέβ.ληται.*
»	41	»	20	»	*ἀπήσχοντο*	»	*ἀπέσχοντο.*
»	42	»	16	»	*Τιρναβιτῶν*	»	*Τυρναβιτῶν.*
»	42	»	29	»	*προσήκετο*	»	*προσήκατο.*
»	42	»	32	»	*διαμαρτυρόμενος*	»	*διαμαρτυράμενος.*
»	43	»	21	»	*δικαίου*	»	*οἰκείου.*
»	45	»	15	»	*διαφορᾶς*	»	*διαφθορᾶς.*
»	46	»	10	»	*τοῖς*	»	*ταῖς*
»	46	»	13	»	*ἐπιτροπεύοντα*	»	*ἐπιτροπεύσοντα.*
»	47	»	11	»	*μὲν*	»	*μὴν*
»	47	»	21	»	*τὸν*	»	*τῶν*
»	47	»	27	»	*δοκεῖν*	»	*δοκεῖ.*
»	48	»	19	»	*τερματεῖν*	»	*τερματιεῖν.*
»	50	»	20	»	*ἀποβ.λαφθῆναι*	»	*ἀποβ.ληθῆναι.*